C καὶ ὥσπερ ἡλίου μὴ ὄντος ἕνεκα τῶν ἄλλων ἄστρων εὐφρόνην ἂν ἤγομεν, ὥς φησιν Ἡράκλειτος (fr. 99), οὕτως ἕνεκα τῶν αἰσθήσεων, εἰ μὴ νοῦν μηδὲ λόγον ὁ ἄνθρωπος ἔσχεν, οὐδὲν ἂν διέφερε τῷ βίῳ τῶν θηρίων. νῦν δ' οὐκ ἀπὸ τύχης οὐδὲ αὐτομάτως περίεσμεν αὐτῶν καὶ κρατοῦμεν, ἀλλ' ὁ Προμηθεύς, τουτέστιν ὁ λογισμός, αἴτιος

'ἵππων ὄνων τ' ὀχεῖα καὶ ταύρων γονάς
δοὺς ἀντίδουλα καὶ πόνων ἐκδέκτορα'

κατ' Αἰσχύλον (fr. 194). ἐπεὶ τύχῃ γε καὶ φύσει γενέσεως ἀμείνονι τὰ πλεῖστα τῶν ἀλόγων κέχρηται. τὰ μὲν γὰρ ὥπλι-
D σται κέρασι καὶ ὀδοῦσι καὶ κέντροις, 'αὐτὰρ ἐχίνοις' φησὶν Ἐμπεδοκλῆς (fr. 83)

'ὀξυβελεῖς χαῖται νώτοις ἐπιπεφρίκασι',

καὶ ὑποδέδεται καὶ ἠμφίεσται φολίσι καὶ λάχναις καὶ χηλαῖς καὶ ὁπλαῖς ἀποκρότοις· μόνος δ' ὁ ἄνθρωπος κατὰ τὸν Πλάτωνα (Prot. 321 c) 'γυμνὸς καὶ ἄοπλος καὶ ἀνυπόδητος καὶ ἄστρωτος' ὑπὸ τῆς φύσεως ἀπολέλειπται.

'ἀλλ' ἓν διδοῦσα πάντα μαλθάσσει τάδε' (Tr. ad. 367), τὸν λογισμὸν καὶ τὴν ἐπιμέλειαν καὶ τὴν πρόνοιαν.

'ἦ βραχὺ μὲν σθένος ἀνέρος· ἀλλά
ποικιλίᾳ πραπίδων
δεινὰ μὲν πόντου χθονίων τ' ὀρέων
δάμναται παιδεύματα' (Eur. fr. 27).